[1]Καὶ ἐλυπήθη Ιωνας λύπην μεγάλην καὶ συνεχύθη. [2]καὶ προσεύ- 4
ξατο πρὸς κύριον καὶ εἶπεν Ὦ κύριε, οὐχ οὗτοι οἱ λόγοι μου ἔτι
ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς
Θαρσις, διότι ἔγνων ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος
καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. [3]καὶ νῦν, δέσποτα 3
κύριε, λαβὲ τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με
ἢ ζῆν με. [4]καὶ εἶπεν κύριος πρὸς Ιωναν Εἰ σφόδρα λελύπησαι σύ; 4
[5]καὶ ἐξῆλθεν Ιωνας ἐκ τῆς πόλεως καὶ ἐκάθισεν ἀπέναντι τῆς πό- 5
λεως· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ σκηνὴν καὶ ἐκάθητο ὑποκάτω αὐτῆς
ἐν σκιᾷ, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. [6]καὶ προσέταξεν κύριος 6
ὁ θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ιωνα τοῦ εἶναι
σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν
κακῶν αὐτοῦ· καὶ ἐχάρη Ιωνας ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην.
[7]καὶ προσέταξεν ὁ θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξεν 7
τὴν κολόκυνθαν, καὶ ἀπεξηράνθη. [8]καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι 8
τὸν ἥλιον καὶ προσέταξεν ὁ θεὸς πνεύματι καύσωνος συγκαίοντι,
καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν Ιωνα· καὶ ὠλιγοψύχησεν
καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ καὶ εἶπεν Καλόν μοι ἀποθανεῖν με
ἢ ζῆν. [9]καὶ εἶπεν ὁ θεὸς πρὸς Ιωναν Εἰ σφόδρα λελύπησαι σὺ 9
ἐπὶ τῇ κολοκύνθῃ; καὶ εἶπεν Σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου.
[10]καὶ εἶπεν κύριος Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ 10
ἐκακοπάθησας ἐπ᾽ αὐτὴν καὶ οὐκ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ
νύκτα καὶ ὑπὸ νύκτα ἀπώλετο. [11]ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευη 11
τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσιν πλείους ἢ δώδεκα μυ-
ριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν
αὐτῶν, καὶ κτήνη πολλά;

4 2 ω] + δη S$^c$*LC*† | λογοι μου] + ους ελαλησα A† | εγνων] + εγω S$^c$V† || 3 καλον το αποθ. με(> W)] καλον μοι το αποθ. με *L*$^{(\dagger)}$ | η (BS*† ει)] pr. μαλλον S$^c$*L* | με ult. BS*W*L*$^p$] > AQS$^c$*L*$^p$*C* || 5 εαυτω / εκει σκηνην] tr. A$^{(\dagger)}$ | τη] pr. εν S || 6 κολοκυνθη bis] τ pro θ A: item in 7. 9. 10 | του 1$^0$ BS W] > AQ*LC* | σκιαν] pr. εις S$^c$ || 7 ο θεος] pr. κυριος AQ: cf. 8. 9 || 8 ο θεος] pr. κυριος AQW: cf. 7 | αποθανειν BS*W] pr. το AQS$^c$*LC* | με BAQ] > SW*LC* | fin.] + με S$^c$*LC*: cf. 3 || 9 ο θεος BS*W†] pr. κυριος rel.: cf. 7 || 10 επ αυτην BQS$^c$] επ αυτης S*A, επ αυτη *L*, > *C*† | και ουκ] ουδε S$^c$*LC* | εγενηθη / υπο νυκτα BSW*LC*] tr. AQ || 11 της μεγαλης > A† | πλειους η] η > BS*† | η ult.] ουδε A†

Subscr. ιωνας ς′ BS, ιωνας προφητης ς′ A$^{(\dagger)}$: cf. inscr.